κόσμου, τὴν Ὑπεραγία Θεοτόκο, τὴν Παναγία Ὁδηγήτρια, τὴν Ἔφορο καὶ Προστάτιδα τῆς Μονῆς, διὰ τὶς ἀπειράριθμες εὐεργεσίες καὶ τὰ θαυμάσιά Της, προσφέρουμε εὐλαβῶς τὴν ἔκδοση αὐτὴ τοῦ Παρακλητικοῦ Κανόνος, μνημονεύοντες μνημόσυνον εὔγνωμον καὶ αἰώνιο τῆς εἰς οὐρανοὺς πνευματικῆς συνοδείας τῆς Ἱερᾶς ἡμῶν Μονῆς.

Κύριος ὁ Θεὸς ἡμῶν, διὰ πρεσβειῶν τῆς Παναχράντου Του Μητρός, Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ὁδηγητρίας, εἴθε νὰ δίδη στοὺς πιστῶς ἐκτελοῦντες τὴν ἱεράν Της Παράκλησῃ, ὅπως ἀξιωθοῦν τῆς θερμῆς προστασίας καὶ μεσιτείας Της, εἰς ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν. Ἀμήν.

*Ἱερὰ Μονὴ*

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΠΑΝΑΓΙΑΝ ΟΔΗΓΗΤΡΙΑΝ

*Ποίημα*
*Καθηγουμένης Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης*

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Ψαλμὸς ρμβ´ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς

ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου ὅτι ἐπὶ Σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς Σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός Σού εἰμι.

Καὶ εὐθὺς τό·

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν,
εὐλογημένος ὁ ἐρχόμενος,
ἐν ὀνόματι Κυρίου.

Τὸ ἐπαναλαμβάνομεν ἀνὰ στίχον.

Στίχος α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον Αὐτοῦ.

Στίχος β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχος γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Κατόπιν τὰ Τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς ὀχυρὸν καὶ ἀῤῥαγέστατον τεῖχος, καὶ γαληνὸν ἐν τοῖς κινδύνοις λιμένα, ἐν

δυσχερείαις φύλακα, καὶ μέγαν φρουρόν, ἔχομεν οἱ δοῦλοι Σου, τὴν σεπτήν Σου εἰκόνα, Κόρη Ὁδηγήτρια, καὶ αὐτὴν προσκυνοῦντες· τὰς δωρεὰς ἀντλοῦμεν δαψιλῶς, τῆς μητρικῆς Σου, ἀεὶ ἀντιλήψεως.

Δόξα. Ὅμοιον.

Πανευλαβῶς τῇ Σῇ εἰκόνι προσπίπτω, καὶ ἐκβοῶ Σοι Ὁδηγήτρια Κόρη, ἐκ τῶν παθῶν με ἔγειρον, τῇ Σῇ δεξιᾷ. Δεῖξον σωτηρίας μοι, τὴν ὁδὸν τὴν εὐθεῖαν, ἔργα με ἀξίωσον, μετανοίας ποιῆσαι, καὶ ἐπιστρέψαι πάλιν τοῦ Πατρός, εἰς τὴν οἰκίαν, υἱόν με τὸν ἄσωτον.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν

ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ἀναγνώστης.
Ψαλμὸς Ν΄ (50).

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι·

πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου, καὶ τὸ Πνεῦμά Σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς Σου, καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

Καὶ ἀρχόμεθα τοῦ Κανόνος.
Οὗ ἡ ἀκροστιχίς·
«Σὲ ἔχω ὁδηγόν, Κόρη Ὁδηγήτρια.
Ἰσιδώρας».

Ἦχος πλ. δ΄. Ὠδὴ α΄.
Ὑγρὰν διοδεύσας.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σαλπίσωμεν σάλπιγγι οἱ πιστοί, εὐσήμου ἡμέρας καὶ σκιρτῶντες πνευματικῶς, ποιήσωμεν σύναξιν τιμῶντες, τὴν Παναγίαν ἁγνὴν Ὁδηγήτριαν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐν νόσοις Σὲ ἔχομεν ἰατρόν, φρουρὸν ἐν κινδύνοις ἐν ἀνάγκαις Σε βοηθόν, σεμνὴ Ὁδηγήτρια Παρθένε, καὶ ἐν παντί Σε ἑτοίμην ἀντίληψιν.

Δόξα Πατρὶ καὶ Υἱῷ
καὶ Ἁγίῳ Πνεύματι.

Ἐν Σοὶ Ὁδηγήτρια Μαριάμ, τὴν πᾶσαν ἐλπίδα ἀνατίθεμεν οἱ πιστοί, γενοῦ ὁδηγὸς ἡμῖν ἐν βίῳ, τὰς διαβάσεις καλῶς ὁμαλίζουσα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Χαρᾶς Σοι τὸν ὕμνον χαρμονικῶς, βοῶμεν Παρθένε Ὁδηγήτρια Μαριάμ, κατάρας τὴν λύπην γὰρ καθεῖλες, καὶ εὐλογίας παρέσχες τὸ πλήρωμα.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡς λιμένα γαλήνης, ἐν τοῖς δεινοῖς ἔχομεν, Σοῦ τὴν σεβασμίαν εἰκόνα, ὦ Ὁδηγήτρια, καὶ προσκυνοῦντες αὐτήν, μετὰ πολλῆς εὐλαβείας, τὴν χαρὰν λαμβάνομεν, τὴν εἰρηνόδωρον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁδηγὸν ἐν τῷ βίῳ, Σὲ ἀσφαλῆ ἔχομεν, Κόρη Ὁδηγήτρια ὅθεν, οὐ δειλιάσομεν, τὰς καθ' ἡμῶν τοῦ ἐχθροῦ, δολιοπλόκους παγίδας, ἡ γὰρ χείρ Σου δύναμιν, ἔχει ἀνίκητον.

Δόξα Πατρὶ καὶ Υἱῷ
καὶ Ἁγίῳ Πνεύματι.

Διαχρύσῳ ἐσθῆτι, φωτοπρεπεῖ στέμματι, καὶ βασιλικῇ ἁλουργίδι, ἄχραντε Δέσποινα, κεκοσμημένη λαμπρῶς, τοῦ Σοῦ Υἱοῦ δεξιόθεν, μετὰ δόξης ἵστασαι, ὦ Ὁδηγήτρια.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Ἡδυνόμενος φίλτρῳ, τοῦ ἱεροῦ πόθου Σου, καὶ τὸ ὄνομά Σου τὸ μέγα, ἔχων τοῖς χείλεσι, τὰ δυσχερῆ παρορῶ, ὦ Ὁδηγήτρια Κόρη, ἡδονῶν προσκαίρων τε, ἐπιλανθάνομαι.

Ὁδήγησον, τῇ ἀσφαλείᾳ τῆς θείας Σου προστασίας, σωτηρίας εἰς τὴν ὁδὸν ἡμᾶς Ὁδηγήτρια, ἀνοίγουσα θύραν τῆς μετανοίας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὁ ἱερεὺς μνημονεύει.
Εἶτα. Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

Τὴν χεῖρα τὴν Σήν, Παρθένε Ὁδηγήτρια, παράσχου ἡμῖν, ὡς ῥάβδον τῆς δυνάμεως, καὶ πιστοὺς στερέωσον· εἰς λιμένα εὔδιον ἄγουσα, τὴν τρικυμίαν παύουσα παθῶν, καὶ χάριν διδοῦσα εἰρηνόδωρον.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Γραφικῶς ἡ καρδία μου, Κόρη Ὁδηγήτρια ἐκολλήθη Σοι· μητρικῇ δὲ ἀγαθότητι, καὶ ἐμοῦ ἡ χείρ Σου ἀντελάβετο.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὀρφανῶν Ὁδηγήτρια, καὶ χηρῶν ὑπάρχεις τροφὸς παρήγορος· ἀσθενῶν ἡ περιποίησις, καὶ πτωχῶν φιλόστοργος ἀντίληψις.

Δόξα Πατρὶ καὶ Υἱῷ
καὶ Ἁγίῳ Πνεύματι.

Νηστευόντων ἐνίσχυσις, Σὺ ὑπάρχεις Δέσποινα Ὁδηγήτρια· ἀγρυπνούντων ἐπαγρύπνησις, τῶν καλῶς ἀθλούντων τὸ στερέωμα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Κραταιά Σου ἡ δύναμις, καὶ ἡ συμμαχία Σου ἀπροσμάχητος· ἡ δὲ σκέπη Σου ἀπόρθητος, Παναγία Κόρη Ὁδηγήτρια.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὅστις ἐπὶ Σέ, Παναγία Ὁδηγήτρια, καταφεύγει οὐκ αἰσχύνεται ποτέ, καὶ λαμβάνει, τῆς ἐλπίδος τὴν βεβαίωσιν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ῥεῖθρα δαψιλῶς, ἀναβλύζει τοῦ ἐλέους Σου, ἡ εἰκών Σου Ὁδηγήτρια σεμνή, καὶ θεραπεύει, πολυχρόνια νοσήματα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἥλιος τὸ φῶς, ἀνατέλλει ἐν φαιδρότητι, Ὁδηγήτρια Παρθένε ἀλλ᾽ αὐτόν, ὑπερβαίνεις, ἀπροσίτῳ Σου λαμπρότητι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Ὄμματα πρὸς Σέ, ὡς ὁ πένης Ὁδηγήτρια, Παναγία ἀνατείνω καὶ βοῶ, μὴ ἐπιλάθῃ, τῆς ἐσχάτης εὐτελείας μου.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Διψῶσάν μου, τὴν καρδίαν πότισον, Ὁδηγήτρια Παρθένε Μαρία· ταῖς προχοαῖς, τοῦ χρηστοῦ Σου ἐλέους, ἵνα ὑμνῶ Σου τὸ ἅγιον Ὄνομα· πηγὴν ζωῆς ἀληθινῆς· τὸν Χριστὸν γὰρ ἀῤῥεύστως ἐκύησας.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἡ εὔνοια, τῆς χειρός Σου δίδωσι, τὰ χρειώδη τοῖς πτωχοῖς καθ᾽ ἑκάστην· τοῖς ἐν πληγαῖς,

καὶ ὀδύναις τὴν ῥῶσιν, τοῖς κοπιῶσιν ἐλπίδος ἀνάπαυσιν· τοῖς πᾶσι πάντα χορηγεῖς, Ὁδηγήτρια Κόρη φιλάγαθε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Γηθόμενοι, Σοὶ τὸ χαῖρε κράζομεν, ὅτι ἔπαυσας τῆς Εὔας τὴν λύπην· καὶ τοῦ Ἀδάμ, ὀδυρμὸν καὶ τὸν θρῆνον, εἰς χαρμονὴν εὐφροσύνης μετέβαλες· καὶ γὰρ διήνοιξας ζωῆς, τὰς εἰσόδους Ἁγνὴ Ὁδηγήτρια.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Ἡ δόξα Σου, ἡ πολλὴ καὶ ἄφραστος, καταπλήττει τῶν Ἀγγέλων τὰς τάξεις· καὶ ἐξιστᾷ, διανοίας ἀνθρώπων, ὦ Ὁδηγήτρια Κόρη Πανάχραντε· καὶ γὰρ χερσί Σου μητρικαῖς, τὸν Δεσπότην τῶν ὅλων ἐβάστασας.

Ὁδήγησον, τῇ ἀσφαλείᾳ τῆς θείας Σου προστασίας, σωτηρίας εἰς τὴν ὁδὸν ἡμᾶς Ὁδηγήτρια, ἀνοίγουσα θύραν τῆς μετανοίας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Καὶ πάλιν ὁ ἱερεὺς μνημονεύει.

Μεθ' ὅ· Κοντάκιον

Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Ἐν ἐλέει ἀγαθοπρεπῶς Ὁδηγήτρια, Παναγία τοῖς ἐν συμφοραῖς συμπαρίστασαι, Σὺ ὑπάρχεις χριστιανῶν παρήγορος ἐλπίς· τροφὸς σύμβουλος καὶ βοηθός, καὶ γαληνόμορφος λιμήν, καὶ φρουρὸς καὶ προπύργιον. Ἔφορος καὶ προστάτις, καὶ τεῖχος τῆς ἀσφαλείας, ἀναχαιτίζουσα ἐχθρῶν, ἀοράτων τὰ βουλεύματα.

Εἶτα τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν
τοῦ δ΄ Ἤχου.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον, Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

Δόξα Πατρὶ καὶ Υἱῷ
καὶ Ἁγίῳ Πνεύματι.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει, ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Μνησθήσομαι τοῦ ὀνόματός Σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. (δίς)

*Στίχ.* Ἄκουσον, Θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς Σου, καὶ ἐπιλάθου τοῦ λαοῦ Σου, καὶ τοῦ οἴκου τοῦ πατρός Σου καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους Σου.

Μνησθήσομαι τοῦ ὀνόματός Σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Εἶτα· ἐκ τοῦ κατὰ Λουκᾶν
ἁγίου Εὐαγγελίου
τὸ Ἀνάγνωσμα (Κεφ. α´ 39-49, 56)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς

τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

*Δόξα Σοι, Κύριε, δόξα Σοι.*

Δόξα.

Τῆς Ὁδηγητρίας πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Στίχ.* Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Δεῦτε ἀνανήψωμεν, οἱ ἐν πολλαῖς ἁμαρτίαις, τὸν Θεὸν λυπήσαντες, καὶ κακῶν εἰς βάραθρα ὀλισθήσαντες· Ὁδηγὸν ἔχομεν, τῆς καλῆς ἐλπίδος, τὴν Παρθένον Ὁδηγήτριαν· Αὐτῇ βοήσωμεν, μέτ' εἰλικρινοῦς πεποιθήσεως· τὴν δύναμιν Σου ἔκτεινον, εἰς ἐπανορθώσεως στήριγμα. Ἵνα διὰ ταύτης, βαδίσωμεν τὴν εὔθετον ὁδόν, τῆς μετανοίας καὶ φθάσωμεν, Θεοῦ εἰς σκηνώματα.

Οὐδεὶς προστρέχων ἐπὶ Σοί, κατησχυμμένος ἀπὸ Σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε, ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῷζε πόλιν καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὴν σεπτήν Σου εἰκόνα, ὡς οὐράνιον πλοῦτον καὶ πολυσήμαντον, κατέχει ὁ λαός Σου, Παρθένε Παναγία, Μαριὰμ Ὁδηγήτρια· καὶ ἐξ αὐτῆς δωρεῶν, τὰς χάριτας λαμβάνει.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ῥαθυμίας τῷ ὄκνῳ, οἱ βαρούμενοι δεῦτε καὶ ἐκζητήσωμεν, Ἁγνῆς Ὁδηγητρίας, Παρθένου Θεοτόκου, τὴν βοήθειαν κράζοντες· τῆς κραταιᾶς Σου χειρός, παράσχου τὰ ἐλέη.

Δόξα Πατρὶ καὶ Υἱῷ
καὶ Ἁγίῳ Πνεύματι.

Ἰατρόν Σε πλουτοῦμεν, Ὁδηγήτρια Κόρη Θεοχαρίτωτε, οἱ νόσοις πολυτρόποις, κατ' ἄμφω ἀσθενοῦντες, ὅθεν πίστει προστρέχομεν· τῇ Σῇ προνοίᾳ καὶ γάρ, μεγάλη ἡ ἰσχύς Σου.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Ἀσματόπλοκα ἄνθη, Σοὶ προσφέρομεν πόθῳ, ὦ Ὁδηγήτρια, Παρθένε Θεοτόκε, βοῶντες ἐξαιρέτως, τοῦ Ἀγγέλου τὸν ὕμνον Σοι· χαῖρε χαρᾶς ἀπαρχή, πηγὴ τῆς εὐλογίας.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἱερωτέρα, τῶν οὐρανίων ταγμάτων, Ὁδηγήτρια Κόρη ὑπάρχεις, καὶ ὑψηλοτέρα, τῆς κτίσεως ἁπάσης.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σοὶ πρέπει δόξα, ὦ Ὁδηγήτρια Κόρη, Σοὶ τιμὴ ἐπαξίως προσήκει, Σοὶ μεγαλωσύνης, ὁ ἔπαινος ἁρμόζει.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἱλαρωτέρα, ἡλιακῶν λαμπηδόνων, ἐν φωτὶ ἡ εὐπρέπεια λάμπει, τῆς Ὁδηγητρίας, Παρθένου Θεοτόκου.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δικαιοσύνης, ἐπενεδύθημεν δόξαν, διὰ Σοῦ Ὁδηγήτρια Κόρη, καὶ τοῦ παραδείσου, ἐλάβομεν τὸν πλοῦτον.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡς ἔλαφοι διψῶσαι, δράμωμεν ὑδάτων, εἰς τὰς πηγὰς ἔνθα χάριν, παρέχει ζωῆς, ἡ Ὁδηγήτρια Κόρη, Ἣν μεγαλύνομεν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ῥητόρων πολυσόφων, γλῶσσαι ἀτονοῦσιν, Ὁδηγητρίας Παρθένου, εἰπεῖν ἱκανῶς, τὰ μεγαλεῖα τὰ θεῖα, καὶ ἀδιήγητα.

Δόξα Πατρὶ καὶ Υἱῷ
καὶ Ἁγίῳ Πνεύματι.

Ἀγάλλονται τῇ δόξῃ, τῆς Ὁδηγητρίας, ἀειπαρθένου Μαρίας, Ἀγγέλων χοροί, καὶ τῶν ἀνθρώπων τὰ πλήθη, συνεπιχαίρουσιν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Σὲ ἔχει ὁ λαός Σου, ἔφορον καὶ σκέπην, καὶ κραταιὰν προστασίαν, καὶ μέγαν φρουρόν, καὶ ἐν ταῖς ζάλαις λιμένα, ὦ Ὁδηγήτρια.

Καὶ εὐθύς, τό·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Καὶ τὰ ἑπόμενα μεγαλυνάρια.
Ὧν ἡ ἀκροστιχίς· «Χαῖρε ἄχραντε».

Χαίροις Ὁδηγήτρια Μαριάμ, χάριτος ὁ πλοῦτος εὐλογίας ὁ θησαυρός, τῶν ἁμαρτανόντων λιμὴν σωτηριώδης· ἐλπὶς ἀπεγνωσμένων ἡ ἀκαταίσχυντος.

Ἄσμασι τιμήσωμεν οἱ πιστοί, τῆς Ὁδηγητρίας Θεοτόκου τὴν ἑορτήν, Αὕτη γὰρ τῆς Εὔας ἐξήλειψε τὸ χρέος· τὰς πύλας Παραδείσου πάλιν ἀνοίξασα.

Ἴδωμεν καρδίας ἐν θαυμασμῷ, ὅσα μεγαλεῖα τῶν δυνάμεων ὁ Θεός, τῇ Ὁδηγητρίᾳ ἐποίησε Παρθένῳ· ἐκ ταύτης γὰρ ἀσπόρως σάρκα προσείληφεν.

Ῥώσεως λαμβάνουσι διὰ Σοῦ, τὰς εὐεργεσίας Ὁδηγήτρια Μαριάμ, οἱ τῶν νοσημάτων καμπτόμενοι τῷ ἄλγει, καὶ Σοῦ ὁμολογοῦσι τὴν ἀγαθότητα.

Ἔλαιον παρέχεις πληρωτικόν, τοῖς ἐπιφωνοῦσι Σοῦ τὸ ὄνομα τὸ σεπτόν, ἔχεις γὰρ ἀγάπης καὶ θείας συμπαθείας, τὰ σπλάγχνα τὰ μητρῷα ὦ Ὁδηγήτρια.

Ἄγει εὐφροσύνης ἐν χαρμονῇ, σύναξιν ἐνθέως ὁ λαός Σου καὶ συγκαλεῖ, πάντας εὐφημῆσαι ᾠδαῖς μεγαλοφώνως, τὴν Σὴν μεγαλωσύνην ὦ Ὁδηγήτρια.

Χεῖρας Σου παράσχου μοι συμπαθῶς, τῷ ἐν ἀμελείας ὀλισθήσαντι τοῖς κρημνοῖς, καὶ ἐξέγειρόν με εἰς νήψεως τὸ ὕψος, ἐργάζεσθαι τὰ θεῖα ὦ Ὁδηγήτρια.

Ῥώμην περιζώννυνται οἱ πιστοί, Σοῦ τῇ συμμαχίᾳ Ὁδηγήτρια Μαριάμ, καὶ κατατροποῦσιν ἐχθρῶν τῶν πολεμίων, ἐνέδρας πολυπλόκους ἐν κραταιότητι.

Ἄγκυραν Σὲ ἔχομεν ἀσφαλῆ, εὔδιον λιμένα καὶ ἐλπίδα ἐν συμφοραῖς, γέφυραν τῆς ἄνω ζωῆς καὶ Βασιλείας, καὶ θύραν Παραδείσου ὦ Ὁδηγήτρια.

Νεῦσον ταῖς δεήσεσι τῶν οἰκτρῶν, δούλων Σου Παρθένε Ὁδηγήτρια Μαριάμ, δίδου δὲ πλουσίως τὰ θεῖα Σου ἐλέη· ὡς Μήτηρ Θεοῦ Λόγου τοῦ Ἐλεήμονος.

Τὶς ὦ Ὁδηγήτρια Μαριάμ, δύναται ἀξίως μελῳδῆσαι τῆς θαυμαστῆς, δόξης Σου τὸ κάλλος ἢ τὶς ἐξιστορῆσαι, δυνήσεται τὰς θείας εὐεργεσίας Σου.

Ἔπαινον χειλέων ἐκ πενιχρῶν, πρόσδεξαι Παρθένε Ὁδηγήτρια Μαριάμ, ὥσπερ ὁ Υἱός Σου τὸ δίλεπτον τῆς χήρας· καὶ μή με ἀποῤῥίψης ἀπὸ προσώπου Σου.

Εἶτα·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Ὁ Ἀναγνώστης·

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.
Κύριε, ἐλέησον.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου. Ἐλθέτω ἡ Βασιλεία Σου. Γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ταχὺ προκατάλαβε

Ὡς στῦλος πυρίμορφος καὶ ὁδηγία λαμπρά, πρὸς κλῆρον ἀκήρατον, καθοδηγεῖς ἀσφαλῶς, ἡμᾶς Ὁδηγήτρια· Σὺ γὰρ πρὸς ἐπιδόσεις, τὰς βελτίους ἰθύνεις, θείᾳ ἐπισκοπῇ Σου, τοὺς πιστῶς Σοι βοῶντας· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ Σοῦ.

Ἕτερον. Ἦχος α΄.

Τῆς ἐρήμου πολίτης.

Ἐν ὁδῷ τῶν ἁγίων, προσταγμάτων ὁδήγησον, τοὺς πανευλαβῶς σεβομένους, τὴν τιμίαν εἰκόνα Σου· ἣν ἔχωμεν ἀνύστακτον φρουρόν, καὶ εὔδιον λιμένα καὶ τροφόν, Παναγία Ὁδηγήτρια καὶ ἰσχύν, καὶ τεῖχος ἀπροσμάχητον. Χαίροις τῶν θλιβομένων ἡ ἐλπίς, χαίροις ἐλέους πέλαγος, χαίροις τῆς συμπαθείας ἡ πηγή, τὸ ῥεῖθρον ἀγαθότητος.

Πρὸ δὲ τοῦ «δι' εὐχῶν» τὰ ἀκόλουθα·
Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Χαίροις τῶν περάτων ἡ ἐλπίς, τῶν ἐν ἀσθενείας κειμένων, ἡ ταχινὴ ἰατρός, ῥεῖθρον τῆς χρηστότητος, τὸ ἀνεξάντλητον· συμπαθείας τὸ πέλαγος, ἐλέους ἡ κρήνη, πλοῦτε ἀδαπάνητε, τῆς ἀγαθότητος. Χαίροις Ὁδηγήτρια Κόρη, τῶν ἁμαρτωλῶν σωτηρία· τῶν κατεῤῥαγμένων ἐπανόρθωσις.

Σέβω Ὁδηγήτρια σεμνή, Σοῦ τὴν σεβασμίαν εἰκόνα, ἣν ὁ λαὸς τοῦ Θεοῦ, ἔχει ὡς κειμήλιον, θεοπαράδοτον· ἐν αὐτῇ δὲ καυχώμενος, βοᾷ γηθοσύνως, δεῦτε μοι συγχάρητε, τῆς γῆς τὰ πέρατα· ἔχω τοῦ Θεοῦ τὴν Μητέρα, ἔφορον τροφὸν κηδεμόνα, καὶ φρουρὸν καὶ λύχνον μου ἀκοίμητον.

Δεῦτε οἱ βαράθροις χαλεποῖς, τῶν παραπτωμάτων πεσόντες, καὶ εἰς ὁδὸν σκολιάν, τῆς ἀπομακρύνσεως, περιβαδίζοντες, μέτ' ἐλπίδος βοήσωμεν Ἁγνὴ Θεοτόκε, Κόρη Ὁδηγήτρια, ἡμῖν παράστηθι, δίδου τῆς χειρός Σου τὸ σθένος, ἵνα κραταιῶς στηριχθέντες, τῷ Θεῷ ἐν πίστει ἐπιστρέψωμεν.

Ἦχος πλ. δ΄.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον ἡμᾶς, ὑπὸ τὴν σκέπην Σου.

Δίστιχα. Ἀκροτελεύτια.

*Ὁδήγησόν με ἐν ὁδῷ τῆς θείας μετανοίας,*
*ὦ Ὁδηγήτρια σεμνὴ Παρθένε Παναγία,*
*βοᾷ Σοι παρακλήσεσιν ἡ πένης Ἰσιδώρα·*
*καὶ ῥάβδον δός μοι στερεὰν τὰς πρὸς Θεὸν εὐχάς Σου,*
*ἵνα αἰσίως εἰς σκηνὰς τοῦ Παραδείσου φθάσω,*
*καὶ τὸν Θεὸν τὸν ἀγαθὸν δοξάζω ἐν αἰνέσει,*
*Πατέρα, ἅμα τῷ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ,*
*Ὧ πρέπει δόξα καὶ τιμὴ εἰς πάντας τοὺς αἰῶνας.*

ΤΕΛΟΣ
ΚΑΙ ΤΩ ΘΕΩ ΗΜΩΝ, ΤΩΝ ΑΓΑΘΩΝ ΔΟΤΗΡΙ,
ΔΩΜΕΝ ΤΙΜΗΝ ΚΑΙ ΑΙΝΕΣΙΝ,
ΕΙΣ ΠΑΝΤΑΣ ΤΟΥΣ ΑΙΩΝΑΣ.
ΑΜΗΝ.